ΙΑΕ 602 (επιλογή γραπτών πηγών)

Αππιανός, *Συριακή*, 54.
ὁ δ᾽ Ἀντίγονος Πτολεμαῖον ἠμύνετο, καὶ ναυμαχίᾳ περὶ Κύπρον ἐνίκα περιφανεῖ, Δημητρίου τοῦ παιδὸς στρατηγοῦντος· ἐφ᾽ ὅτῳ λαμπροτάτῳ γενομένῳ ὁ στρατὸς ἀνεῖπεν ἄμφω βασιλέας, Ἀντίγονόν τε καὶ Δημήτριον, ἤδη καὶ τῶν βασιλέων τεθνεώτων Ἀριδαίου τε τοῦ Φιλίππου καὶ Ὀλυμπιάδος, καὶ τῶν υἱῶν Ἀλεξάνδρου.

Διόδωρος Σικελιώτης, 20.53.
ὁ δ᾽ Ἀντίγονος πυθόμενος τὴν γεγενημένην νίκην, καὶ μετεωρισθεὶς ἐπὶ τῷ μεγέθει τοῦ προτερήματος, διάδημα περιέθετο καὶ τὸ λοιπὸν ἐχρημάτιζε βασιλεύς, συγχωρήσας καὶ τῷ Δημητρίῳ τῆς αὐτῆς τυγχάνειν προσηγορίας καὶ τιμῆς. ὁ δὲ Πτολεμαῖος οὐδὲν τῇ ψυχῇ ταπεινωθεὶς διὰ τὴν ἧτταν, καὶ αὐτὸς ὁμοίως ἀνέλαβε τὸ διάδημα καὶ πρὸς ἅπαντας ἐνέγραφεν ἑαυτὸν βασιλέα.

Πρόσταγμα και επιστολή Αντιόχου Γ΄ (245-187 π.Χ.) στους Λαοδικείς της Μηδίας.
Μενέδημος Ἀπολλοδότωι καὶ Λαοδικέων
[τ]οῖς ἄρχουσι καὶ τῆι πόλει χαίρειν. τοῦ
[γ]ραφέντος πρὸς ἡμᾶς προστάγματος
[παρὰ τ]οῦ βασιλέως ὑποτέτακται
[τὸ ἀντί]γραφον κατακολουθεῖτε οὖν
τοῖς ἐπεσταλμένοις καὶ φροντίσατε
ὅπως ἀναγραφὲν τὸ πρόσταγμα εἰς στήλην
λιθίνην ἀνατεθῆι ἐν τῶι ἐπιφανεστάτωι
τῶν ἐν τῆι πόλει ἱερῶν.
Ἔρρωσθε, θιρ΄, Πανήμου ι΄. (10 Ιουνίου 193 π.Χ.)
Β[α]σιλεὺς Ἀντίοχο[ς Μ]ενεδήμωι χαίρειν.
[Βου]λόμενοι τῆς ἀδελφῆς βασιλίσσης
Λαοδίκης τὰς τιμὰς ἐπὶ πλεῖστον αὔξειν
καὶ τοῦτο ἀναγκαιότατον ἑαυτοῖς
νομίζοντες εἶν[αι] διὰ τὸ μὴ μόνον ἡμῖν φιλοστόργως
καὶ κηδεμονικῶς αὐτὴν συμβιοῦν, [ἀλ]λὰ καὶ
πρὸς τὸ θεῖον εὐσεβῶς διακεῖσθαι καὶ τὰ ἄλλα μὲν
ὅσα πρέπει καὶ δίκαιόν ἐστιν παρ' ἡμῶν [αὐτ]ῆι
συναντᾶσθαι διατελοῦμεν μετὰ φιλοστοργίας
ποιοῦντες, κρίνομεν δὲ καθάπερ ἡμῶν
ἀποδείκνυνται κατὰ τὴν βασιλείαν ἀρχιερεῖς,
καὶ ταύτης κ[αθ]ίστασθαι ἐν τοῖς αὐτοῖς τό[ποι]ς
ἀρχιερείας, αἳ φ[ορ]ήσουσιν στεφάνους χρυ[σοῦς]
ἔχοντας εἰκόν[α]ς αὐτῆς, ἐνγραφήσονται δὲ [καὶ]
ἐν τοῖς συν[αλ]λάγμασ[ι], μετὰ τοὺς τῶν προ[γόνων]
καὶ ἡμῶν ἀρχι[ερε]ῖς. ἐπεὶ οὖν ἀποδέδει[κται]
ἐν τοῖς ὑπὸ σ[ὲ τό]ποις Λαοδίκη{ς}, συ[ντελείσθω]
πάντα τοῖς προγεγραμμένοις ἀκολ[ούθως],
καὶ τὰ ἀντίγραφα τῶν ἐπιστολῶν ἀναγραφέν[τα]
εἰς στήλας ἀνατεθήτω ἐν τοῖς ἐπιφανεστάτοις τό[ποις],
ὅπως νῦν τε καὶ εἰς τὸ λοιπὸν φανερὰ γ[έν]ηται ἡ ἡμε[τέρα]
καὶ ἐν τούτοις πρὸς τὴν ἀδελφὴν [προ]αίρεσις·
θιρ΄, Ξαν[δικοῦ ---]. (Φεβρουάριος-Μάρτιος 193 π.Χ.)

Η επιγραφή της Rosetta (σε απόδοση στα νέα ελληνικά της ελληνικής εκδοχής).
Όταν βασιλιάς ήταν ο Νέος και αφού έλαβε την βασιλεία από τον πατέρα του, κύριος του βασιλείου, ένδοξος, ο οποίος αποκατέστησε την Αίγυπτο και είναι ευσεβής προς τους θεούς, θριάμβευσε επί των αντιπάλων του και αποκατέστησε τον πολιτισμένο βίο των ανθρώπων, κύριος των τριακονταετηρικών εορτών, όπως ο Ήφαιστος (Φθα) ο Μέγας, βασιλιάς όπως ο Ήλιος (Ρά), μεγάλος βασιλιάς της Άνω και Κάτω Αιγύπτου, γιος των θεών Φιλοπατόρων, τον οποίο επιδοκίμασε ο Ήφαιστος και στον οποίο ο Ήλιος έδωσε τη νίκη, ζωντανή εικόνα του Διός (Άμμωνος), γιός του Ηλίου, ο Πτολεμαίος ο αιωνόβιος, ο αγαπημένος του Φθα, το έννατο έτος (της εξουσίας του), επί Αέτου, γιού του Αέτου, ιερέως του Αλεξάνδρου και των θεών Σωτήρων και των θεών Αδελφών και των θεών Ευεργετών και των θεών Φιλοπατόρων και του θεού Επιφανούς και Ευχαρίστου, επί αθλοφόρου της Βερενίκης Ευεργέτιδος, Πύρρας κόρης του Φιλίνου, επί κανηφόρου της Αρσινόης Φιλαδέλφου, Αρείας κόρης του Διογένη, επί ιερείας της Αρσινόης Φιλοπάτορος, Ειρήνης κόρης του Πτολεμαίου, την 4η ημέρα του μηνός Ξανδικού, και σύμφωνα με το αιγυπτιακό ημερολόγιο, τη 18η του μηνός Μεχείρ.
Ψήφισμα· οι αρχιερείς και οι προφήτες και αυτοί που εισέρχονται στο άδυτο για το στολισμό των θεών και οι πτεροφόροι και οι ιερογραμματείς και όλοι οι άλλοι ιερείς, οι οποίοι, ερχόμενοι από τα ιερά της χώρας, συνάντησαν στη Μέμφιδα τον βασιλιά στην εορτή της ανάληψης της βασιλείας από τον Πτολεμαίο τον αιωνόβιο, τον αγαπημένο του Φθα, θεό Επιφανή Ευχάριστο, την οποία παρέλαβε από τον πατέρα του, αφού συγκεντρώθηκαν στο ιερό της Μέμφιδας την ημέρα εκείνη, είπαν.
Επειδή ο βασιλιάς Πτολεμαίος ο αιωνόβιος, ο αγαπημένος του Φθα, θεός Επιφανής Ευχάριστος, γιός του βασιλιά Πτολεμαίου και της βασίλισσας Αρσινόης, θεών Φιλοπατόρων, ευεργέτησε πολύ τα ιερά και αυτούς που κατοικούν σε αυτά και όλους αυτούς που βρίσκονται κάτω από την εξουσία του, είναι θεός, γιος θεού και θεάς, όπως ο Ώρος, γιός της Ίσιδος και του Οσίριος, που βοήθησε τον πατέρα του Όσιρι, είναι ευνοϊκά διακείμενος προς τους θεούς, ανέθεσε στα ιερά εισοδήματα σε χρήματα και σε δημητριακά και έκανε πολλές δαπάνες για να οδηγήσει την Αίγυπτο στην ευημερία και να αποκαταστήσει τα ιερά, και με όλες του τις δυνάμεις ευεργέτησε, και από τα έσοδα και τους φόρους που έπαιρνε από την Αίγυπτο, σε μερικούς έκανε ολικές φοροαπαλλαγές, ενώ άλλους τους μείωσε, για να μπορέσει ο λαός και όλοι οι άλλοι να ευημερήσουν κατά τη διάρκεια της βασιλείας του· όσες βασιλικές οφειλές είχαν οι κάτοικοι της Αιγύπτου και οι άλλοι στο υπόλοιπο μέρος του βασιλείου του, οι οποίες ήταν πολλές στον αριθμό, τις χάρισε, και αυτούς που κρατούνταν στις φυλακές και αυτούς που κατηγορούνταν για πολύ χρόνο τους απάλλαξε από τις κατηγορίες· διέταξε οι θεοί να εξακολουθούν να απολαμβάνουν τα έσοδα των ιερών και όσες παροχές σε χρήματα και σε δημητριακά δίνονται κάθε χρόνο σε αυτά, καθώς και τις πρέπουσες *απομοίρες* από τους αμπελώνες και τα περιβόλια και από άλλες γαίες που ανήκαν στους θεούς κατά την εξουσία του πατέρα του· διέταξε επίσης οι ιερείς να μη δίνουν περισσότερα για το *τελεστικόν* (για την είσοδό τους στην ιερωσύνη), από ό,τι πλήρωναν έως το πρώτο έτος της βασιλείας του πατέρα του· απάλλαξε μέλη από την τάξη των αιγυπτίων ιερέων από την υποχρέωση να καταπλέουν κάθε χρόνο στην Αλεξάνδρεια· διέταξε να μην συλλαμβάνονται για να ναυτολογούνται υποχρεωτικά και μείωσε κατά τα δύο τρίτα το φόρο επί των λινών υφασμάτων που πληρώνουν τα ιερά στο βασιλικό ταμείο· αποκατέστησε στην τάξη όσα πράγματα είχαν εγκαταλειφθεί τον προηγούμενο καιρό φροντίζοντας ώστε αυτά που πρέπει να γίνουν προς τους θεούς να γίνουν με τον αρμόζοντα τρόπο· όμοια απένειμε σε όλους δικαιοσύνη όπως ο Ερμής ο Μέγας και μέγας (Θωθ)·
και διέταξε όσους από τους μάχιμους επέστρεφαν και αυτούς που είχαν διαφορετικά φρονήματα κατά την περίοδο των ταραχών, αφού επέστρεψαν να παραμείνουν στις

κτήσεις τους· φρόντισε να σταλούν δυνάμεις ιππικές και πεζικές και ναυτικές κατά αυτών που εισέβαλαν στην Αίγυπτο από τη θάλασσα και από την ξηρά, προμηθεύοντας μεγάλα ποσά σε χρήματα και σε δημητριακά, ώστε τα ιερά και όσοι έμεναν σε αυτά να είναι ασφαλείς· έχοντας πάει στην Λυκόπολι στον Βουσιρίτη νομό, η οποία είχε καταληφθεί και οχυρωθεί για να αντιμετωπίσει πολιορκία με πολλά όπλα και όλες τις άλλες προμήθειες, και βλέποντας την αλλοτρίωση σε αυτούς τους ασεβείς που είχαν μαζευτεί εκεί, οι οποίοι είχαν προκαλέσει πολλές ζημιές στα ιερά και στους κατοίκους της Αιγύπτου, αφού στρατοπέδευσε εναντίον της, την περιέβαλε με αναχώματα και τάφρους και τείχη ανθεκτικά· όταν ο Νείλος πλημμύρισε πολύ το όγδοο έτος της βασιλείας του και, ως συνήθως, πλημύρισε τις καλλιεργήσιμες γαίες, το προέβλεψε κλείνοντας σε πολλές περιοχές τα στόμια των καναλιών, δίνοντας για τα έργα αυτά όχι λίγα χρήματα και στέλνοντας ιππείς και πεζούς για να τα επιτηρούν, και σε λίγο χρόνο κατέλαβε ολοκληρωτικά την πόλη και σκότωσε όλους τους ασεβείς, όπως ο Ερμής και ο Ώρος, ο γιός της Ίσιδος και του Οσίριος, είχαν καταλάβει στην ίδια περιοχή αυτούς που προηγούμενα είχαν αποστατήσει· και αυτούς που είχαν ηγηθεί των αποστατών κατά τη διάρκεια της βασιλείας του πατέρα του και είχαν προκαλέσει ταραχές στην ύπαιθρο και αδικίες στα ιερά, αφού πήγε στη Μέμφιδα, όπου υπερασπίστηκε τον πατέρα του και τη δική του βασιλεία, τους τιμώρησε όλους όπως τους άξιζε την εποχή που ήρθε εδώ για να συμμετέχει στους καθιερωμένους εορτασμούς της ανάληψης της βασιλείας· δώρισε στα ιερά τις οφειλές τους στο βασιλικό ταμείο μέχρι το όγδοο έτος της εξουσίας του, των οποίων το πλήθος σε δημητριακά και σε χρήματα δεν ήταν λίγο· το ίδιο έκανε με τα πρόστιμα των προσόδων από τα λινά υφάσματα που δεν εισπράχθηκαν από το βασιλικό ταμείο από αυτές που εισπράχθηκαν (δώρισε) διάφορα έξοδα για την πιστοποίησή τους κατά τον ίδιο χρόνο· απάλλαξε τα ιερά από το φόρο από τις αρτάβες για κάθε αρούρα καλλιεργήσιμης γης και όμοια από τα κεράμια για κάθε αρούρα αμπελώνων, και δώρισε πολλά στον Άπι και στον Μνεύι και στα άλλα ιερά ζώα της Αιγύπτου, επειδή ενδιαφέρθηκε πολύ περισσότερο από ό,τι οι προηγούμενοί του βασιλείς για όλα αυτά που τους ανήκαν για πάντα, και για τις ταφές τους χορήγησε τα πρέποντα με γενναιοδωρία και κάθε τιμή, τόσο αυτά που πληρώνονταν στα ίδια τα ιερά με θυσίες και εορτές, όσο και όλα τα άλλα που γίνονται κατά τη συνήθεια· και διατήρησε τα δικαιώματα των ιερών της Αιγύπτου σύμφωνα με τους νόμους και στόλισε το ναό του Άπι με πολυτελείς κατασκευές δαπανόντας γι᾽ αυτές πλήθος χρυσού και αργύρου και πολυτελών λίθων και ίδρυσε ιερά και ναούς και βωμούς, ενώ επισκεύασε αυτά που ήταν αναγκαίο να επιδιορθωθούν, έχοντας την ευεργετική πρόθεση θεού για θέματα που ανήκουν στο θείο· και έμαθε μετά από έρευνα ότι τα δικαιώματα των ιερών είχαν ανανεωθεί κατά τη διάρκεια της βασιλείας του, όπως πρέπει· προς ανταπόδοση αυτών οι θεοί του χάρισαν υγεία, νίκη και εξουσία, όπως και όλα τα άλλα αγαθά ώστε η βασιλεία να παραμείνει σε αυτόν και στα παιδιά του για πάντα.

Στην καλή Τύχη· αποφάσισαν οι ιερείς όλων των ιερών της Αιγύπτου να αυξήσουν όλες τις υπάρχουσες τιμές στον αιωνόβιο βασιλιά Πτολεμαίο, αγαπημένο του Φθα, θεό Επιφανή Ευχάριστο, όμοια και τις τιμές των γονέων του θεών Φιλοπατόρων και αυτές των προγόνων του θεών Ευεργετών και αυτές των θεών Αδελφών και αυτές των θεών Σωτήρων· να στήσουν άγαλμα του αιωνόβιου βασιλιά Πτολεμαίου θεού Επιφανούς Ευχαρίστου σε κάθε ιερό στον πιο περίβλεπτο χώρο, με επιγραφή που θα τον ονομάζει «Πτολεμαίο υπερασπιστή της Αιγύπτου», στο οποίο θα αναπαρίσταται ο κυριότερος θεός του ιερού να του δίνει ασπίδα νικητή, και τα οποία (αγάλματα) θα κατασκευασθούν σύμφωνα με την αιγυπτιακή τεχνοτροπία· και οι ιερείς να φροντίζουν το άγαλμα τρεις φορές την ημέρα και να το στολίζουν με ιερά ενδύματα και σύμβολα, και να τελούν αυτά που πρέπει, όπως κάνουν για τους άλλους θεούς στις εορτές της

Αιγύπτου· να ιδρύσουν στο βασιλιά Πτολεμαίο θεό Επιφανή Ευχάριστο, γιό του βασιλιά Πτολεμαίου και της βασίλισσας Κλεοπάτρας, ξόανο και ναό χρυσό σε κάθε ιερό και να το τοποθετήσουν στο άδυτο μαζί με αυτά των άλλων ναών, και στους μεγάλους εορτασμούς, κατά τους οποίους γίνεται περιφορά των ναών, να περιφέρεται μαζί και ο ναός του θεού Επιφανούς Ευχαρίστου· για να είναι εύκολα αναγνωρίσιμος τώρα και για πάντα να τοποθετηθούν επάνω από το ναό δέκα χρυσά διαδήματα της εξουσίας, στα οποία θα προστεθεί και ένας όφις (*ἀσπίς*), με τον ίδιο τρόπο όπως κοσμούνται όλα τα διαδήματα των ναών με όφεις, στο κέντρο των οποίων θα είναι το διπλό διάδημα Ψχέντ, το οποίο φόρεσε όταν μπήκε στο ναό της Μέμφιδος για να παραστεί στους εορτασμούς της ανάληψης της βασιλείας· και να τοποθετηθούν στο τετράγωνο σημείο γύρω από το διάδημα, για το οποίο έγινε λόγος, δύο χρυσά σύμβολα, στα οποία να αναγράφεται ότι είναι ο ναός του βασιλιά της Άνω και Κάτω Αιγύπτου· και η 30η του μηνός Μεσορή που εορτάζονται τα γενέθλια του βασιλιά και, παρόμοια, η 17η του μηνός Φαωφί που παρέλαβε τη βασιλεία από τον πατέρα του, να θεωρούνται ιερές (επώνυμες) αυτές οι ημέρες στα ιερά, γιατί είναι η αρχή πολλών καλών για όλους, και να τελούνται στις ημέρες αυτές εορτασμοί και πανηγύρεις στα ιερά της Αιγύπτου κάθε μήνα, και να προσφέρονται θυσίες και σπονδές και τα άλλα τα καθιερωμένα, όπως γίνονται και στους άλλους εορτασμούς, και τα αναθήματα να δίνονται στους ιερείς που βρίσκονται στα τεμένη· να γίνεται εορτή και πανύγηρις στον αιωνόβιο και αγαπημένο από τον Φθα βασιλιά Πτολεμαίο θεό Επιφανή Ευχάριστο κάθε χρόνο στα ιερά της χώρας από την 1η ημέρα του μήνα Θώυθ και για πέντε ημέρες, κατά τις οποίες θα είναι στεφανωμένοι και θα τελούν θυσίες και σπονδές και όλα τα άλλα που αρμόζουν· να προσαγορεύονται οι ιερείς των άλλων θεών και «ιερείς του θεού Επιφανούς Ευχαρίστου» μαζί με τα ονόματα των άλλων θεών που υπηρετούν, και να καταχωρηθεί η ιερατεία του (Πτολεμαίου) σε όλα τα επίσημα αρχεία και να χαραχθεί στα δαχτυλίδια που φορούν· και να πρέπει οι άλλοι ιδιώτες να συμμετέχουν στην εορτή και να τοποθετούν το ναό που αναφέρθηκε στις οικίες τους και να τελούν αυτά που πρέπει στις εορτές κάθε μήνα και κάθε χρόνο, για να γίνει γνωστό σε όλους ότι οι Αιγύπτιοι αυξάνουν τις τιμές και τιμούν το θεό Επιφανή Ευχάριστο βασιλιά, σύμφωνα με τα νόμιμα έθιμά τους· το ψήφισμα αυτό να αναγραφεί σε στήλες στέρεου λίθου σε ιερή και αιγυπτιακή και ελληνική γραφή, και να στηθεί σε κάθε ένα από τα πρώτα και τα δεύτερα και τα τρίτα ιερά δίπλα στην εικόνα του αιωνόβιου βασιλιά.

Πολύβιος 5.107.1-3.
Ὁ γὰρ προειρημένος βασιλεὺς (Πτολεμαίος Δ΄) καθοπλίσας τοὺς Αἰγυπτίους ἐπὶ τὸν πρὸς Ἀντίοχον πόλεμον πρὸς μὲν τὸ παρὸν ἐνδεχομένως ἐβουλεύσατο, τοῦ δὲ μέλλοντος ἠστόχησε· φρονηματισθέντες γὰρ ἐκ τοῦ περὶ Ῥαφίαν προτερήματος οὐκέτι τὸ προστατόμμενον οἷοί τ᾽ ἦσαν ὑπομένειν, ἀλλ᾽ ἐζήτουν ἡγεμόνα καὶ πρόσωπον ὡς ἱκανοὶ βοηθεῖν ὄντες αὐτοῖς. ὁ καὶ τέλος ἐποίησαν, οὐ μετὰ πολύν χρόνον.

Πολύβιος 18.46.4-8 *(ελεύθερη απόδ. στα νέα ελλ. & επεξηγήσεις με πλάγια)*.
... ἀθροισθέντος τοῦ πλήθους εἰς τὸ στάδιον *(στην Κόρινθο)* ἐπὶ τὸν ἀγῶνα *(των Ισθμίων)*, προελθὼν ὁ κῆρυξ καὶ κατασιωπησάμενος τὰ πλήθη ... τόδε κήρυγμ᾽ ἀνηγόρευσεν:
«ἡ σύγκλητος ἡ Ῥωμαίων καὶ Τίτος Κοΐντιος στρατηγὸς ὕπατος, καταπολεμήσαντες βασιλέα Φίλιππον καὶ Μακεδόνας, ἀφιᾶσιν ἐλευθέρους, ἀφρουρήτους, ἀφορολογήτους, νόμοις χρωμένους τοῖς πατρίοις, Κορινθίους, Φωκέας, Λοκρούς, Εὐβοεῖς, Ἀχαιοὺς τοὺς Φθιώτας, Μάγνητας, Θετταλούς, Περραιβούς».
Επειδή ήδη από την αρχή ακούγονταν έντονα οι ζητωκραυγές του κόσμου, άλλοι δεν άκουσαν το κήρυγμα, άλλοι ήθελαν να το ξανακούσουν, αφού οι περισσότεροι από τους

συγκεντρωμένους δεν «πίστευαν στα αυτιά τους» και νόμιζαν ότι μάλλον στον ύπνο τους άκουγαν όσα λέγονταν διὰ τὸ παράδοξον τοῦ συμβαίνοντος. *Έτσι, παρότρυναν τον κήρυκα να στηθεί στη μέση του σταδίου και να επαναλάβει το λόγο, επιθυμώντας, όχι μόνο να τον ακούνε αλλά και να τον βλέπουν, όπως υποθέτει ο αρχαίος συγγραφέας,* διὰ τὴν ἀπιστίαν τῶν ἀναγορεύμενων.

Διόδωρος Σικελιώτης, 31.1-2 (το ίδιο επεισόδιο στον Πολύβιο, 29.2 & 27).
Ὅτι ὁ Ἀντίοχος (*Δ΄*) τὴν ἀρχὴν ἐσεμνύνετο λέγων οὐ τῆς κατ᾽ Αἴγυπτον βασιλείας ἑαυτὸν ἐπιθυμοῦντα παρεσκευάσθαι μεγάλας δυνάμεις εἰς τὸν πόλεμον, ἀλλὰ τῷ πρεσβυτέρῳ Πτολεμαίῳ βούλεσθαι συγκατασκευάσαι τὴν πατρῷαν ἀρχὴν. οὐ μὴν τό γε ἀληθὲς οὕτως εἶχεν, ἀλλὰ διαγωνοθετῶν τὰ μειράκια διελάμβανε μεγάλην χάριτος ἀφορμὴν παρέχων ἀκονιτὶ κυριεύσειν τῆς Αἰγύπτου ...
Ὅτι ἀπαντήσασι τὸν Ἀντίοχον τοῖς Ῥωμαίοις, κἀκείνου μακρόθεν ἅμα τῇ φωνῇ ἀσπαζομένου καὶ τὴν δεξιὰν ἐκτείνοντος, ὁ μὲν Ποπίλλιος *(C. Popillius Laenas)* πρόχειρον ἔχων τὸ βυβλίον ἐν ᾧ τὸ τῆς συγκλήτου δόγμα κατεκεχώριστο προέτεινε καὶ αὐτὸν ἐκέλευσεν ἀναγνῶναι τὸν Ἀντίοχον. τοῦτο δὲ ἔδοξε ποιεῖν ὅπως μὴ πρότερον ὡς φίλον δεξιώσηται πρὶν ἢ διὰ τῆς προαιρέσεως γνωσθῇ πότερον πολέμιός ἐστιν ἢ φίλος. ἐπεὶ δὲ ἀναγνοὺς ὁ βασιλεὺς ἔλεξε παρὰ τῶν φίλων γνώμην ἂν λαβεῖν περὶ τούτων, ἀκούσας ὁ Ποπίλλιος ἐποίησε πρᾶγμα βαρὺ δοκοῦν εἶναι καὶ παντελῶς ὑπερήφανον. ἔχων γὰρ προχειρότατον ἀμπέλινον βακτήριον περιέγραψε τῷ κλήματι τὸν Ἀντίοχον καὶ διεκελεύσατο τὴν ἀπόκρισιν ἐν τούτῳ τῷ γύρῳ ποιεῖσθαι.
ὁ δὲ βασιλεὺς τὰ μὲν ξενιζόμενος ἐπὶ τῷ γεγονότι, τὰ δὲ καταπεπληγμένος τὴν ὑπεροχὴν τῆς Ῥωμαίων ἡγεμονίας, πρὸς ἀμηχανίαν ἐλθὼν καὶ τὰ σύμπαντα λογιζόμενος ἔφη ποιήσειν πᾶν τὸ παρακελευόμενον ὑπὸ Ῥωμαίων. οἱ δὲ περὶ τὸν Ποπίλλιον ἅμα πάντες τὴν δεξιὰν αὐτοῦ λαβόντες ἠσπάζοντο φιλοφρόνως. ἦν δὲ τὰ γεγραμμένα λύειν παραχρῆμα τὸν πρὸς Πτολεμαῖον πόλεμον. ὁ δὲ βασιλεὺς ἀκολούθως τοῖς γεγραμμένοις τὰς δυνάμεις ἐξήγαγεν ἐξ Αἰγύπτου, ἐκπεπληγμένος τὴν Ῥωμαίων ὑπεροχήν, ἅτε καὶ προσφάτως ἀκηκοὼς τὸ τῶν Μακεδόνων πταῖσμα· τοῦτο γὰρ μήπω γεγενῆσθαι δοκῶν οὔποτ᾽ ἂν ἑκουσίως προσεῖχε τῷ δόγματι.

Πολύβιος, 31.10-11.
Ὅτι μετὰ τὸ μερίσαι τοὺς Πτολεμαίους τὴν βασιλείαν παρεγένετο Πτολεμαῖος ὁ νεώτερος εἰς τὴν Ῥώμην, ἀθετεῖν βουλόμενος τὸν γεγονότα μερισμὸν αὐτῷ πρὸς τὸν ἀδελφόν, φάσκων οὐχ ἑκών, ἀλλὰ κατ᾽ ἀνάγκην τῷ καιρῷ περιληφθεὶς πεποιηκέναι τὸ προσταττόμενον. καὶ παρεκάλει τὴν σύγκλητον μερίσαι τὴν Κύπρον αὐτῷ· καὶ γὰρ τούτου γενομένου καταδεεστέραν ἕξειν μερίδα τἀδελφοῦ παρὰ πολύ. τῶν δὲ περὶ τὸν Κανολήιον καὶ Κόιντον ἀπομαρτυρούντων τοῖς περὶ τὸν Μένυλλον, τοῖς παρὰ τοῦ πρεσβυτέρου παραγεγονόσι πρεσβευταῖς, διότι καὶ τὴν Κυρήνην ὁ νεώτερος καὶ τὸ πνεύμα δι᾽ αὐτοὺς ἔχει· τοιαύτην γὰρ γενέσθαι τὴν τῶν ὄχλων πρὸς αὐτὸν ἀλλοτριότητα καὶ προσκοπήν· διὸ καὶ παρ᾽ ἐλπίδα καὶ παραδόξως δεδομένων αὐτῷ τῶν κατὰ Κυρήνην πραγμάτων ἀσμένως δέξαιτο, καὶ σφαγίων τμηθέντων καὶ λάβοι τοὺς ὅρκους παρὰ τἀδελφοῦ καὶ δοίη περὶ τούτου· τοῦ δὲ Πτολεμαίου πᾶσι τούτοις ἀντιλέγοντος, ἡ σύγκλητος, ἅμα μὲν ὁρῶσα τὸν μερισμόν γεγονότα τελέως, ἅμα δὲ βουλομένη διελεῖν τὴν βασιλείαν πραγματικῶς, αὐτῶν αἰτίων γενομένων τῆς διαιρέσεως, συνκατέθετο τοῖς ὑπὸ τοῦ νεωτέρου παρακαλουμένοις ἐπὶ τῷ σφετέρῳ συμφέροντι. πολὺ γὰρ ἤδη τοῦτο τὸ γένος ἐστὶ τῶν διαβουλίων παρὰ Ῥωμαίοις, ἐν οἷς διὰ τῆς τῶν πέλας ἀγνοίας αὔξουσι καὶ κατασκευάζονται τὴν ἰδίαν ἀρχὴν πραγματικῶς, ἅμα χαριζόμενοι καὶ δοκοῦντες εὐεργετεῖν τοὺς ἁμαρτάνοντας. διὸ καὶ καθορῶντες τὸ μέγεθος τῆς ἐν Αἰγύπτῳ δυναστείας καὶ δεδιότες, ἄν ποτε τύχῃ προστάτου, μὴ μεῖζον φρονήσῃ τοῦ καθήκοντος, κατέστησαν πρεσβευτὰς Τίτον Τορκουᾶτον καὶ Γναῖον

Μερόλαν τοὺς κατάξοντας ἐπὶ τὴν Κύπρον τὸν Πτολεμαῖον καὶ τελειώσαντας ἅμα τὴν ἐκείνων καὶ τὴν αὐτῶν πρόθεσιν. καὶ παραχρῆμα τούτους ἐξαπέστειλαν, δόντες ἐντολὰς διαλῦσαι τοὺς ἀδελφοὺς καὶ κατασκευάσαι τῷ νεωτέρῳ τὴν Κύπρον χωρὶς πόλεμον.

Ιώσηππος, *Ἰουδαϊκοὶ πόλεμοι*, 7.219-243.
Ἤδη δ᾽ ἔτος τέταρτον Οὐεσπασιανοῦ (72 μ.Χ.) διέποντος τὴν ἡγεμονίαν συνέβη τὸν βασιλέα τῆς Κομμαγηνῆς Ἀντίοχον μεγάλαις συμφοραῖς πανοικεσίᾳ περιπεσεῖν ἀπὸ τοιαύτης αἰτίας. Καισσένιος Παῖτος, ὁ τῆς Συρίας ἡγεμὼν τότε καθεστηκώς, εἰτ᾽ οὖν ἀληθεύων εἴτε καὶ διὰ τὴν πρὸς Ἀντίοχον ἔχθραν, οὐ σφόδρα γὰρ τὸ σαφὲς ἠλέχθη, γράμματα πρὸς Καίσαρα διεπέμψατο, λέγων τὸν Ἀντίοχον μετὰ τοῦ παιδὸς Ἐπιφανοῦς διεγνωκέναι Ῥωμαίων ἀφίστασθαι, συνθήκας πρὸς τὸν βασιλέα τῶν Πάρθων πεποιημένον. δεῖν οὖν προκαταλαβεῖν αὐτούς, μὴ φθάσαντες τῶν πραγμάτων ἄρξασθαι πᾶσαν τὴν Ῥωμαίων ἀρχὴν πολέμῳ συνταράξωσιν. ἔμελλε δὲ Καῖσαρ τοιούτου μηνύματος αὐτῷ προσπεσόντος μὴ περιορᾶν. καὶ γὰρ ἡ γειτνίασις τῶν βασιλέων ἐποίει τὸ πράγμα μείζονος ἄξιον προνοίας. τὰ γὰρ Σαμόσατα, τῆς Κομμαγηνῆς μεγίστη πόλις, κεῖται παρὰ τὸνΕὐφράτην, ὥστ᾽ εἶναι τοῖς Πάρθοις, εἴ τι τοιοῦτον διενενόηντο, ῥάστην μὲν τὴν διάβασιν, βεβαίαν δὲ τὴν ὑποδοχήν. πιστευθεὶς οὖν ὁ Παῖτος καὶ λαβὼν ἐξουσίαν πράττειν ἃ δοκεῖ συμφέρειν οὐκ ἐμέλλησεν, ἐξαίφνης δὲ τῶν περὶ τὸν Ἀντίοχον οὐδὲν προσδοκώντων εἰς τὴν Κομμαγηνὴν ἐνάβαλεν, τῶν μὲν ταγμάτων ἄγων τὸ ἕκτον τὸ ἕκτον καὶ πρὸς τούτῳ λόχους καί τινας ἴλας ἱππέων. συνεμάχουν δὲ καὶ βασιλεῖς αὐτῷ τῆς μὲν Χαλκιδικῆς λεγομένης Ἀριστόβουλος, τῆς Ἐμέσης δὲ καλουμένης Σόαιμος. ἦν δ᾽ αὐτοῖς τὰ περὶ τὴν εἰσβολὴν ἀνανταγώνιστα· τῶν γὰρ κατὰ τὴν χώραν οὐδεὶς ἤθελε χεῖρας ἀνταίρειν. Ἀντίοχος δὲ τῆς ἀγγελίας ἀδοκήτως προσπεσούσης πολέμου μὲν οὐδ᾽ ἐπίνοιαν πρὸς Ῥωμαίους ἔσπασεν, ἔγνω δὲ πᾶσαν τὴν βασιλείαν ὡς εἶχεν ἐπὶ ὀχήματος καταλιπὼν μετὰ γυναικὸς καὶ τέκνων ὑπεξελθεῖν, οὕτως ἂν οἰόμενος καθαρὸν Ῥωμαίοις αὑτὸν ἀποδεῖξαι τῆς ἐπηνηνηγμένης αἰτίας. καὶ προελθὼν ἀπὸ τῆς πόλεως ἑκατὸν σταδίους πρὸς τοῖς εἴκοσιν εἰς τὸ πεδίον ἐν αὐτῷ καταυλίζεται. Παῖτος δ᾽ ἐπὶ μὲν τὰ Σαμόσατα τοὺς καταληψομένους ἀποστέλλει καὶ δι᾽ ἐκείνων εἶχε τὴν πόλιν, αὐτὸς δὲ μετὰ τῆς ἄλλης δυνάμεως ἐπ᾽ Ἀντίοχον ἐποιεῖτο τὴν ὁρμήν. οὐ μὴν ὁ βασιλεὺς οὐδ᾽ ὑπὸ τῆς ἀνάγκης προήχθη πρᾶξαι τί πρὸς Ῥωμαίους πολεμικόν, ἀλλὰ τὴν αὐτοῦ τύχην ὀδυρόμενος ὅ τι δέοι παθεῖν ὑπέμενε. νέοις δὲ καὶ πολέμων ἐμπείροις καὶ ῥώμη σωμάτων διαφέρουσιν οὐ ῥάδιον ἦν τοῖς παισὶν αὐτοῦ τὴν συμφορὰν ἀμαχεὶ καρτερεῖν. τρέπονται οὖν πρὸς ἀλκὴν Ἐπιφανής τε καὶ Καλλίνικος. σφοδρᾶς δὲ τῆς μάχης καὶ παρ᾽ ὅλην τὴν ἡμέρα γενομένης αὐτοὶ τὴν ἀνδρείαν διαπρεπῆ παρέσχον καὶ μηδὲν ἐλαττωθείσῃ τῇ σφετέρᾳ δυνάμει ἑσπέρᾳ διελύθησαν. Ἀντιόχῳ δ᾽ οὐδ᾽ ἐπὶ τῇ μάχῃ τοῦτο κεχωρηκυίᾳ τὸν τρόπον μένειν ἀνεκτὸν ἐδόκει, λαβὼν δὲ τὴν γυναῖκα καὶ τὰς θυγατέρας μετ᾽ ἐκείνων ἐποιεῖτο φυγὴν εἰς Κιλικίαν, καὶ τοῦτο πράξας τὰ φρονήματα τῶν οἰκείων στρατιωτῶν κατέκλασεν. ὡς γὰρ κατεγνωσμένης ὑπ᾽ αὐτοῦ τῆς βασιλείας ἀπέστησαν καὶ πρὸς τοὺς Ῥωμαίους μετεβάλοντο, καὶ πάντων πρόδηλος ἦν ἀπόγνωσις. πρὶν οὖν τελέως ἐρημωθῆναι τῶν συμμάχων τοῖς περὶ τὸν Ἐπιφανῆ σώζειν αὐτοὺς ἐκ τῶν πολεμίων ἦν ἀναγκαῖον, καὶ γίνονται δέκα σύμπαντες ἱππεῖς οἱ μετ᾽ αὐτῶν τὸν Εὐφράτην διαβάλοντες, ἔνθεν ἤδη μετ᾽ ἀδείας πρὸς τὸν βασιλέα τῶν Πάρθων Βολογέσην κομισθέντες οὐχ ὡς φυγάδες ὑπερηφανήθησαν, ἀλλ᾽ ὡς ἔτι τὴν παλαιὰν ἔχοντες εὐδαιμονίαν πάσης τιμῆς ἠξιώθησαν. Ἀντιόχῳ δ᾽ εἰς Ταρσὸν ἀφιγμένῳ τῆς Κιλικίας ἑκατοντάρχην Παῖτος ἐπιπέμψας δεδεμένον αὐτὸν εἰς Ῥώμην ἀπέστειλεν. Οὐεσπασιανὸς δ᾽ οὕτως οὐχ ὑπέμεινεν πρὸς αὐτὸν ἀναχθῆναι τὸν βασιλέα, τῆς παλαιᾶς ἀξιῶν φιλίας μᾶλλον αἰδῶ λαβεῖν ἢ διὰ τὴν τοῦ πολέμου πρόφασιν ἀπαραίτητον ὀργὴν διαφυλλάτειν. κελεύει δὴ καθ᾽ ὁδὸν ἔτ᾽ ὄντος αὐτοῦ τῶν δεσμῶν ἀφαιρεθῆναι καὶ παρέντα τὴν εἰς [τὴν] Ῥώμην

ἄφιξιν τὸ νῦν ἐν Λακεδαίμονι διάγειν, δίδωσί τε μεγάλας αὐτῷ προσόδους χρημάτων, ὅπως μὴ μόνον ἄφθονον ἀλλὰ καὶ βασιλικὴν ἔχει [τὴν] δίαιταν. ταῦτα τοῖς περὶ τὸν Ἐπιφανῆ πυθομένοις, πρότερον σφόδρα περὶ τοῦ πατρὸς δεδιόσιν, ἀνείθησαν αἱ ψυχαὶ μεγάλης καὶ δυσδιαθέτου φροντίδος. ἐλπὶς δὲ καὶ αὐτοῖς τὸν παρὰ Καίσαρος διαλλαγῶν ἐγένετο Βολογέσου περὶ αὐτὸν ἐπιστείλαντος· οὐδὲ γὰρ εὐδαιμονοῦντες ὑπέμενον ἔξω τῆς Ῥωμαίων ζῆν ἡγεμονίας. δόντος δὲ Καίσαρος ἡμέρως αὐτοῖς τὴν ἄδειαν εἰς Ῥώμην παρεγένοντο, τοῦ τε πατρὸς ὡς αὐτοὺς ἐκ τῆς Λακεδαίμονος εὐθὺς ἐλθόντος πάσης ἀξιούμενοι τιμῆς κατέμενον ἐνταῦθα.